eul_wid: qmm-bz

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

# That Qualities are Incorporeal

*Ὅτι τὰ ποιοῦντα ἀσώματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

19 463 (t1) [ ΓΑΛΗΝΟ Υ ] ΟΤΙ ΑΙ ΠΟΙΟΤΗΤΕΣ ΑΣΩΜΑΤΟΙ Οὐδέν ⟨σε⟩ τῶν ἐμῶν ἀγνοεῖν βουλόμενος, οὐδ’ ἂν πάνυ τι σμικρὸν εἶναι δοκῇ (αὐτὸ γὰρ τὸ λανθάνειν τι τὸν φίλον οὐ σμικρόν ἐστιν), ὁμιλίαν μοι γενομένην πρός τινα δηλῶσαί σοι βούλομαι μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ⟨ἐξ⟩ εργασάμενος· ὁ γὰρ ἐξ ὑπογυίου λόγος περαινόμενος τῆς ἀκριβείας λείπεται, ἄλλως τε καὶ εἰ τύχοιεν κοινωνοῦντες τῶν λόγων ἀντιφιλοτιμούμενοί τε καὶ φιλόνεικοι.

19 464 ἦν δὲ ὁ περὶ τῶν ποιοτήτων λόγος καὶ τῶν συμβεβηκότων ἁπάντων, ⟨ἅ⟩ φασιν εἶναι Στωϊκῶν παῖδες σώματα· πρὸς οὓς χρὴ τάδε λέγειν. Ἆρ’ οὐχὶ σῶμά τινος φήσαντος εὐθὺς νοεῖν ἡμῖν συμβέβηκε τριχῇ τινα διαστατὴν οὐσίαν ἀντίτυπον, αὐτὸ δὲ μόνον εἰ φαίη τι τριχῇ διαστατόν, οὐ μᾶλλον σῶμα νοῆσαι τὸ λεγόμενον ἢ καὶ τὸ κενὸν καὶ τὸν τόπον; χρὴ δὲ τοὺς ὅρους καὶ τὰς ὑπογραφὰς καὶ τὰς λογικὰς δηλώσεις τινῶν αὐτῶν εἶναι καὶ μόνων ἐκείνων δηλωτικάς, ἃ δηλοῦν βουλόμεθα, καὶ μὴ κοινὰς πρὸς ἕτερα, ὅτε γε μὴ τὸν περὶ τῶν κοινῶν λόγον ἀπαιτούμεθα. ὅτι δὲ κοινόν ἐστι τοῦτο, δῆλον (λέγω δὲ τὸ τριχῇ διαστατὸν σώματός τε καὶ κενοῦ καὶ τόπου)· Στωϊκοὺς μὲν ὁμολογεῖν ἀναγκαῖον, ἅτε κενὸν ἀπολιπόντας ἐν τῇ τῶν ὄντων πραγμάτων φύσει, κἂν ἐν τῷ κόσμῳ τοῦθ’ ὑπάρχειν μὴ λέγωσι· τοὺς ⟨δ’⟩ ἄλλους φιλοσόφους νοεῖν γε πάντως ἀναγκαῖον· πῶς γὰρ ἂν ἀπέφασκον τοῦ κενοῦ τὴν φύσιν, εἰ μηδὲν ἐνενόουν τὸ σύνολον; εἰ δὲ νοοῦσιν, οὐκ ἄλλο τι νοεῖν φήσουσι τἀληθὲς ὁμολογεῖν βουλόμενοι.

19 465 πάντως ⟨γε⟩ σῶμα, καθάπερ οὐ δίχα χρόνου, δῆλον ὡς οὐδὲ δίχα τόπου καὶ τούτου δήπου τριχῇ διαστατοῦ, ἵνα δέξηται τὸ τριχῇ διαστατὸν εἰς ἑαυτόν. μαρτύριον τούτων τῶν αἰσθητῶν σωμάτων ἕκαστον· πηχυαῖον γάρ τι φέρε τῷ μήκει, σπιθαμιαῖον δὲ τῷ πλάτει καὶ τῷ βάθει τετραδάκτυλον σῶμα ἀναλόγου δεῖται τόπου τοῦ χωρήσοντος αὐτό. τοῦθ’ ἡμῖν ἔστω διάταγμα καὶ περὶ τοῦ λόγῳ θεωρητοῦ παντὸς σώματος. τοιαύτης δὲ οὔσης τῆς τοῦ σώματος νοήσεως καὶ τοῦ κατ’ αὐτὴν ὁριστικοῦ λόγου, πᾶς ὁμολογήσει δῆλον ὡς οὐκ ὢν δύσερις μὴ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον καὶ ⟨τὰς ποιότητας δι’ ὧν δηλοῦταί τε καὶ⟩ νοεῖται· ὥσ ⟨τ’⟩ οὐχὶ τούτων ἑκάστη (λέγω δὲ τῶν τριῶν διαστάσεων) τὴν ἴσην ἔχει φύσιν οὐδὲ τὸν αὐτὸν ἐπιδέχεται λόγον οὔθ’ ὅλον ἔστι λέγειν σῶμα τοῦ σώματος τὸ μῆκος (πλὴν εἰ ἄρα κατὰ συμπλοκήν), συμβεβηκὸς δὲ τῷ σώματι. ὅ θ’ ὅμοιος ἐπὶ τοῦ πλάτους καὶ βάθους καὶ βάρους καὶ τοῦ σχήματος λόγος καὶ τῶν λοιπῶν ἁπαξαπλῶς ποιοτήτων τε καὶ συμβεβηκότων.

19 466

ἀλλ’ ἀπατᾷ τινας τὸ μὴ δίχα σώματος ταῦτ’ εἶναι μηδὲ νοεῖσθαι. ὅπερ εἰ σκοποίημεν, ὥρα μίαν πάντα ποιεῖν ὕλην καὶ μηδὲν ἕτερον εἶναι λέγειν, ἀλλ’ ἓν μόνον τὸ σῶμα. εἰ δὲ τοῦτ’ ἄτοπον· ἀναρίθμητοι γάρ εἰσιν οὐσιῶν τε κατ’ ἰδιότητα φύσεις καὶ ποιοτήτων καὶ συμβεβηκότων διαφόρων τε καὶ ποικίλων καὶ ἐναντίων· μηδ’ οὖν ἕτερον ἑτέρῳ τούτων ταὐτὸν λέγωμεν, ἔνθα τίς ἐστιν ἡμῖν λόγος περὶ διαφορᾶς. εἴ τε καὶ τὸ συμβεβηκὸς τῷ σώματι σχῆμα φήσομεν σῶμα, σῶμα σώματι συμβεβηκέναι δῆλον ὡς ἐροῦμεν, ὅπερ ἄτοπον· τί γὰρ μᾶλλον αὐτῶν οὐσίαν, τί δὲ συμβεβηκὸς φήσομεν; εἴ τε μίαν ἔχομεν νόησιν τοῦ σώματος ὡς σώματος, ὁ τὸ σχῆμα σῶμα λέγων ἢ κενὸν νοήματος ὄνομα προφέρεται 〈τὸ〉 τοῦ συμβεβηκότος ἢ συνωνύμως ὀνομάζει τῷ σώματι. εἰ δ’ ἐστὶν ἄτοπον ἑκάτερον (καὶ γὰρ σημαίνει τι καὶ διὰ τοῦτό ἐστιν ὄνομα καὶ δηλοῖ τι νόημα τοῦ σώματος ἕτερον, εἰ καὶ μὴ χωριστικῶς), οὐκ ἔστι σῶμα τὸ σχῆμα. ὁ δ’ ὅμοιος ἐπὶ τῶν λοιπῶν συμβεβηκότων λόγος, χρωμάτων τε καὶ χυμῶν καὶ τῶν πρὸς ὄσφρησιν καὶ τῶν πρὸς ἀκοήν, φωνῶν λόγων συριγμῶν μυγμῶν ποππυσμῶν στεναγμῶν ῥωχμῶν ῥογχασμῶν βόμβων ἤχων ψόφων· εἰ δὲ λέγοι τις ταῦτά τε καὶ τὰ τοιαῦτα πάντα ὑπάρχειν ἀέρα πεπληγμένον πως, καλὸν ἐπειπεῖν αὐτῷ τὸ Μενάνδρειον „ταῦτά σ’ ἀπολώλεκεν, ὦ πονηρέ,“ τὸ μὴ δίχα σώματος νοεῖσθαί τι τοιοῦτο.

19 467 ὅπερ ὁμολογῶ καὶ αὐτός, οὔ φημι δὲ δεῖν ἓν καὶ ταὐτὸν εἶναι νομίζειν τὸ ἔχον τῷ ἐχομένῳ. οὔτε γὰρ Κλεάνθης ἦν φῦμα, ἐπεὶ συμβεβήκει τοῦτ’ αὐτῷ τὸ νόσημα, οὔτε Χρύσιππος, ἔτι δ’ Ἐπίκουρος στραγγουρία, ἐπειδὴ ἐκ τούτου τοῦ πάθους αὐτοῖς συνέβη καταστρέψαι τὸν βίον. οὔκουν οὐδὲ πληγὴ τοῦ ἀέρος ἀήρ ἐστιν, ἀλλὰ διαφέρει καὶ τῇ φύσει καὶ τῇ νοήσει καὶ τῷ δηλοῦντι λόγῳ, τί ποτ’ ἐστὶ τούτων ἑκάτερον. ὅτι δ’ ἐστὶν ἀλλήλων τε καὶ τοῦ σώματος ἕτερα τὰ σχήματα (ἀνύσω γὰρ ἐπὶ τούτων νῦν τὸν λόγον), μάρτυρες γεωμέτραι ἕτερον κύκλου τε καὶ τῶν ἄλλων σχημάτων ὅρον ἀποδιδόντες καὶ ἕτερον τοῦ σώματος. ὧν 〈δ’〉 οἱ λόγοι τε τυγχάνουσιν ὄντες ἕτεροι καὶ τὰ σημαινόμενα καὶ πολὺ πρότερον αἱ νοήσεις, ταῦτα πάντα πῶς ἂν ἓν εἶναι λέγοι τις σωφρονῶν; Εἴ τε καὶ τὰ συμβεβηκότα φήσομεν τῷ σώματι σώματα, τί τούτων ἐροῦμεν τίνι συμβεβηκέναι; πότερα ταῦτα τῷ συνήθως ὑφ’ ἁπάντων καλουμένῳ σώματι ἢ τούτοις ἅπασι κοινῶς τε καὶ κατ’ ἰδίαν ἑκάστῳ τὸ σῶμα; ἑκάτερον γὰρ ἄτοπον· εἴτε γὰρ ταῦτα σωματικὴν οὐσίαν ἔχειν λεγόμενα συμβέβηκε τῷ σώματι, εἰ μὲν οὖν ᾗ σώματά ἐστι συμβεβηκότα, καλοῦμεν πάντα τὰ ὄντα σώματα καὶ οὐχὶ τὰ μὲν συμβεβηκότα, τὰ δὲ σώματα· εἰ δ’ οὐχ ᾗ σώμα〈τα〉, ἀλλὰ ἄλλο τι, οὐκ ἄρα σῶμά ἐστι τὸ συμβεβηκός.

19 468 εἴτε τούτοις ἅπασι σώμασιν οὖσι σῶμα ὄν τι συνήθως ὑφ’ ἁπάντων καλούμενον συμβέβηκε, τό τε παραπλήσιον ἔστι λέγειν κἀκεῖνο πυνθάνεσθαι, εἰ μένον ἓν ἀδιαίρετον πᾶσιν αὐτοῖς συμβεβηκέναι λέγοιτο ἂν ἢ μεριζόμενον ἰσαρίθμως αὐτοῖς· τοῦτο γὰρ οὐδ’ ἐπὶ τοῦ χρόνου μεμένηκεν ἀναμφισβήτητον, οὗ καὶ τὸ σμικρότατον ἅμα πᾶσί φασί τινες τοῖς οὖσι συμβεβηκέναι πράγμασιν. εἰ δέ τις τουτὶ φεύγων ὡς ἄτοπον ἰσαρίθμως ἐρεῖ τοῖς καλουμένοις συμβεβηκόσιν, ἃ καὶ αὐτὰ κα λεῖ σώματα, συμβεβηκέναι τὴν οὐσίαν, πολλὰ τολμῶν ἀγνοεῖ· ἐπεὶ μεταπλάττει τῶν πραγμάτων τὴν φύσιν καὶ τὴν νόησιν, οὐ τῷ σώματι τὰ συμβεβηκότα λέγων συμβεβηκέναι, τὸ δὲ σῶμα τοῖς συμβεβηκόσι, καὶ [εἰ] σῶμα σώματι ποιεῖ συμβεβηκός, ὥστε καὶ ἀπορεῖν εἰκότως, τί τίνι φήσει χρῆναι λέγειν συμβεβηκέναι.

19 469 εἴ τε ἰσαρίθμως τοῖς συμβεβηκόσι μερισθὲν τὸ συνήθως λεγόμενον σῶμα ἑκάστῳ τούτων ἴδιόν τι συμβέβηκεν, ἄλλο μέρος τοῦ σώματος ἄλλῳ μέρει τοῦ συμβεβηκότος συμβήσεται. εἴ τε καὶ 〈τὰ〉 συμβεβηκότα σώματά ἐστι, πᾶν δὲ σῶμα ἐπ’ ἄπειρον τέμνεται 〈καὶ〉 ἕκαστον τῶν ἀπείρων τούτων σωμάτων πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι σωματικοῖς οὖσι καὶ αὐτοῖς συμβέβηκεν, σκόπει τὸ πλῆθος τῶν ἀτόπων· τό τε σῶμα σώματι συμβεβηκέναι καὶ τὸ ἓν εἶναι νομιζόμενον τοῖς ἀπείροις καὶ τὸ ἅμα τε ὅλον καὶ μὴ ὅλον· ὅλον μέν, ᾗ παμφερὲς τὸ σχῆμα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ποσὸν τῆς τοῦ μήλου στρογγυλότητος πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι τῷ μήλῳ συμβέβηκεν, οὐχ ὅλον δέ, ᾗ ἕκαστον τῶν ἀπείρων τμημάτων οὐκ ἔστι ταὐτὸν τῷ ἀφ’ οὗ τέτμηται.

19 470 εἴ τε καὶ τὸ σῶμα τοῦ μήλου σῶμά ἐστι καὶ τὸ σχῆμα καὶ ἡ χρόα καὶ ἡ ὀσμὴ καὶ ὁ πρὸς γεῦσιν χυμὸς καὶ ἕκαστον τούτων ἐπ’ ἄπειρον τέμνεται, μόνον οὐκ ἐξ ἀπείρων 〈τμημάτων τὸ〉 μῆλον ἔσται συνεστηκός, ὧν ἕκαστον καὶ στρογγύλον ἔσται παραπλησίως ὅλῳ τῷ μήλῳ, εἴ γε ταὐτοῦ κεκοινώνηκε σχήματος, καὶ ὠχρὸν καὶ γλυκὺ φέρε ἢ αὐστηρὸν καὶ τοιοῦτόν τι πρὸς ὄσφρησιν· καὶ πάλιν ἕκαστον τῶν ἀπείρων τμημάτων μῆλον ἔσται, εἰ πάντα ταῦτ’ ἔχει. ἐξ ἀπείρων οὖν σωμάτων, μᾶλλον δὲ μήλων τὸ ὀφθαλμοφανὲς μῆλον ἔσται συνεστηκός, ὅπερ γελοῖόν γε πολλαχῶς, ἀτὰρ δὴ καὶ τὸ τῶν τμημάτων ἕκαστον οὐκ ἔχον τὴν στρογγυλότητα μηκέτ’ εἶναι μῆλον, μήλου δὲ μέρος· μετὰ γὰρ τοῦ στρογγύλου φέρε σχήματος ἦν τὸ μῆλον. εἰ δὲ ἓν μῆλον μόνον ἐστὶν ἐκ μιᾶς μὲν οὐσίας σωματικῆς, πολλῶν δὲ καὶ διαφόρων συμβεβηκότων συνεστηκός, οὐκ ἔστι τούτων δῆλον ὡς οὐδὲν σῶμα. πότερόν τε τούτων ἕκαστον ἴδιον ἐπέχει τόπον ἢ πάντα τὸν αὐτόν; εἰ μὲν γὰρ ἴδιον, οὔτε συμμεταλαμβάνει δῆλον ὡς τῆς ἀλλήλων ἰδιότητος καὶ ποιότητος οὔτε μῆλόν ἐστιν ἐσχηματισμένον στρογγύλον καὶ κεχρωσμένον ὠχρότητι καὶ πεποιωμένον κατὰ γεῦσιν ὧδέ πως καὶ κατ’ ὄσφρησιν οὕτως.

19 471 εἰ δ’ ἅμα πάντ’ ἐστὶ καὶ ἕνα κατέχει τόπον, σύγχυσίς ἐστι τῶν ἰδιωμάτων καθάπερ ἐπὶ τῶν συνθέτων καὶ ἐκ πλειόνων καὶ διαφόρων ὑλῶν μεμιγμένων φαρμάκων, ἐφ’ ὧν ἡ ἑκάστης τῶν μιγνυμένων ὑλῶν ἰδιότης καὶ ποιότης εἰλικρινὴς οὐ σῴζεται, ἓν δέ τι γίγνεται παρ’ ἑκά〈στην ἕ〉τερον. οὔκουν εἰλικρινής ἐστι γνῶσις ἑκάστου ὡς εἰπεῖν εἴδους, 〈ὅτι〉 τουτὶ τὸ στρογγύλον σχῆμα τοῦ μήλου καὶ τουτὶ τὸ χρῶμα καὶ τῶν ἄλλων συμβεβηκότων ἕκαστον, ἔτι δὲ μᾶλλον, εἰ μὴ παραθετικῶς ἀλλήλων ἅπτεται ταῦτα τὰ μόρια, ἀλλὰ ὅλα δι’ ὅλων μέμικται, ἡ ἑκάστου ἰδία ποιότης ἀπόλλυται. ἀλλ’ οὐδὲ μῖξιν ἔστιν εἰπεῖν ταύτην κυρίως· πῶς γὰρ ὧν καθ’ ἑαυτάς τινες ἰδιότητες οὔκ εἰσιν ἐγνωσμέναι καὶ κατειλημμέναι, ταῦτ’ ἔστι φάναι μεμῖχθαι; ἐπιτείνεται δὲ τὸ ἄπορον τοῦ λόγου, εἰ καὶ τὸ μῆκος τοῦ σώματος σῶμά ἐστι καὶ τὸ πλάτος καὶ τὸ βάθος. ἅμα γὰρ ἄπειροι, φημί, σωμάτων ἀπειρίαι γενήσονται ἐν βρα χεῖ κατὰ περιγραφὴν πρὸς αἴσθησιν τόπῳ.

19 472 τό τε τῶν πολλῶν, μᾶλλον δὲ ἀπείρων σωμάτων πλῆθος ἆρά γε οὖν ἦν ἀΐδιον; καὶ πῶς ἔτι φήσουσιν ἄποιον τὴν πρώτην οὐσίαν, ἐξ ἧς φασι τόν τε κόσμον καὶ τῶν ἐπὶ μέρους εἰδῶν ἕκαστον γεγονέναι; ἢ γέγονεν ἔκ τινος χρόνου καὶ συνῆλθεν εἰς ταὐτὸν ἅπαντα, ἵνα ἐκ συνεργείας γένηται τὰ συγκρίματα; ἀλλὰ καὶ τοῦτ’ ἀτοπώτατον εἶναι λέγομεν καὶ κατὰ πλείους τρόπους, πρῶτον μὲν ὅτι μὴ μιᾶς ἦν ὕλης φύσις, ὡς ἔοικεν, ἄποιος σωματική, πολλαὶ δὲ καὶ ἄπειροι διαφοραὶ ἡμῖν γενήσονται τῆς κοινῆς οὐσίας· ἡ μὲν τῶν ἐπ’ εἴδους μυρίων σχημάτων, ἡ δὲ χροιᾶς καὶ ταύτης ἀναρίθμου κατ’ εἶδος, ἡ δὲ χυμοῦ τοῦ πρὸς γεῦσιν, οὗ πάλιν ἀτερμάτιστός τίς ἐστι διαφορά, ἡ δὲ τοῦ πρὸς ὄσφρησιν καὶ τούτου πολύχουν ἔχοντος ἐξαλλαγήν. ἄπειροι τοιγαροῦν ἔσονται κατ’ αὐτοὺς ἀπειρίαι καὶ διαφοραὶ ποιοτήτων σωματικῶν· μία δέ, ἣν οὐ πεποιωμένην ἐπιμερισθῆναι χρὴ τοῖς ἄλλοις δηλαδή. καίτοι τίνα ποτ’ ἔτι χρείαν ταύτης ἔχουσιν, ἵνα σωματικαὶ γένωνται; φθάνουσί γε καὶ σώμα〈τα〉 εἶναι καὶ πεποιωμέναι τινὲς οὐσίαι.

19 473 ἕκαστόν τε τῶν ἀπείρων τούτων σωμάτων εἰ ἐπ’ ἄπειρον τέμνεται, ἄπειροι ἀπειρίαι πῶς συνέλθωσι καὶ πότε; τὸ γὰρ ἄπειρον ἀδιεξίτητον. 〈εἴ τε〉 καὶ τὸ φῶς ἐστι σῶμα καὶ ἡ λευκότης καὶ ἡ θερμότης, πᾶν δὲ σῶμα ποσόν ἐστι καὶ πηλίκον καὶ συναυξητικὴν φύσιν ἔχει, τὸ καταυγασθὲν καὶ θερμανθὲν ὕδωρ ὑπὸ ἡλίου 〈πῶς οὐ〉 πλεῖόν τε καὶ μεῖζον γίγνεται καὶ διὰ τοῦτο μείζονος δεῖται τόπου; πῶς δὲ καὶ εἰς βραχὺν τόπον καὶ κεγχριαῖον, ἂν οὕτω τύχῃ, συνίασιν ἥ τε σχηματότης καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον; 〈εἰ δ’〉 ἅμα γεγόνει καὶ ἐξ ἀϊδίου, οὔτε μεταβάλλειν ὤφειλε τὸ σύνολον οὔτε φθείρεσθαι· τὸ γὰρ ἀΐδιον ἀμετάβλητον,

καθάπερ τῶν θεῶν αἱ φύσεις. εἰ δὲ τοῦτ’ ἔστιν ἀληθές, πῶς τινα μετασχηματίσομεν, φέρε εἰπεῖν τὸν κηρόν; καὶ τί ποτε γίγνεται, ἐὰν τετράγωνον ὄντα τέως ποιήσωμεν στρογγύλον; εἰ γὰρ ἦν 〈τὸ〉 τετράγωνον τῇ οὐσίᾳ τῇ τοῦ κηροῦ τέως, νῦν 〈δ’〉 ἐστὶν ἡ στρογγυλότης, πόθεν ἐλήλυθεν καὶ μετὰ ποίας αἰτίας τότε 〈αὐτὴν ἐπ〉άγουσι; καὶ εἴτε διὰ σώματος, ἄτοπον· σῶμα γὰρ διὰ σώματος χωρεῖν ἀδιανόητον, εἰ ἐπιστήσειέ τις τὴν ἀντιτυπίαν, 〈ὅτι〉 ἐστὶν ἴδιον σώματος, ὡς ὁ περὶ αὐτοῦ διδάσκει λόγος, προηγουμένως· εἴτε διὰ κενοῦ, ὅτι τε μηδὲν εἶναί φασιν ἐν τῷ κόσμῳ κενὸν οἱ Στωϊκοί, καὶ διότι δὲ σῶμα οὖσαν τὴν στρογγυλότητα καὶ τὰ λοιπὰ δέον ἔχειν συμβεβηκότα καὶ σχῆμα, ὃ καὶ αὐτὸ πάλιν ἐξ ἑτέρου δῆλον ὡς [εἰ] σωματικοῦ συνεστὸς ἔσται σχήματος κἀκεῖνο ἐξ ἄλλου καὶ τοῦτ’ εἰς ἄπειρον.

19 474 καὶ εἴτε ἐκ στρογγύλων τῶν ἐπ’ ἄπειρον τεμνομένων σχημάτων τὸ ἀθρόον τοῦτο κατὰ ὄψιν τὴν ἡμετέραν ἀποτετελεσμένον στρογγύλον συνέστηκε, σκόπει τὸν μῦθον καὶ πόσα τῷδε τῷ πλάσματι παρακολουθεῖ τὰ ἄπορα· εἴτε μὴ ἐκ στρογγύλων, πῶς ἐξ αὐτῶν γένηταί τι στρογγύλον; γελοῖον δὲ καὶ τὸ λέγειν εἰς στρογγύλα σχήματα τὸ στρογγύλον σχῆμα τέμνεσθαι ἀντιμαρτυρούσης 〈τῆς αἰσθήσεως, ὅτι οὔτε τὸ στρογγύλον εἰς στρογγύλα〉 τέμνεται οὔτε τὸ τετράγωνον εἰς τετράγωνα. τί δ’ ἐπὶ τοῦ παρ’ ἀκαρὲς μετασχηματισμοῦ κηροῦ φήσουσι; πότερον ἀντιπαραχωροῦσιν ἀλλήλαις ἅμα νοήματι αἱ τῶν διαφόρων σωμάτων σχηματότητες; καὶ πῶς οὐ γελοῖον καθάπερ ἐμψύχους καὶ λογικὰς οὐσίας ἐξίστασθαι καὶ παραχωρεῖν ἀλλήλαις ὡς ἐκ συνθήματος; καὶ μᾶλλον ἄπορον ἔτι γίγνεται τὸ λεγόμενον, εἰ ἐκτείναιμεν ἅμα νοήματι τοὺς δακτύλους καὶ συστέλλοιμεν.

19 475 εἰ γὰρ μὴ συμβεβηκός ἐστιν ἡ πυγμὴ μηδ’ ἡ ἔκτασις, ἀλλὰ σώματα, ἀπείρους ἅμα σωματικὰς σχηματότητας χρὴ λέγειν ἀφίστασθαι καὶ παραγίγνεσθαι· κἂν δύο δὲ μόνας εἶναι φήσῃς καὶ μὴ ἰσαρίθμους ταῖς ἐκτάσεσι καὶ συστολαῖς, ἔτι ποικίλως ἐστὶν ἄπορον τὸ λεγόμενον, ἔτι δὲ μᾶλλον ἀπορώτερον, εἰ μηδὲ παραγίγνονται αἱ τῆς συστολῆς καὶ ἐκτάσεως σχηματότητες, ἀλλ’ ἑτέρα ἐφ’ ἑτέρᾳ τῆς χειρὸς ἀπορρέουσιν. ἐχρῆν γὰρ ἐν ἀκαρεῖ χρόνῳ τὸν ὀρχηστὴν διαπεφορῆσθαι, ἄλλων ἐπ’ ἄλλοις ἀλήκτως ἀπ’ αὐτοῦ σωμάτων ἀποχωρούντων. ἐπὶ δὲ τούτου 〈τί〉 φήσουσιν; εἴ γε μὲν ἀΐδια τῆς οἰνότητος ἀποτελεστικὰ σώματα, πῶς ὄξος γίγνεται; πῶς δὲ ἀπέπτατο, ποῦ δὲ οἴχεται, καὶ πόθεν ἥκει τὰ τῆς τοῦ ὄξους ποιότητος ἀποτελεστικὰ σώματα; εἰ δ’ ἐνυπῆρχε τῷ οἴνῳ καὶ τέως, πῶς ἦν οἶνος, ἀλλ’ οὐκ ὄξος ἢ μέση τις ἐξ ἀμφοῖν τρίτη ποιότης οὔτε οἶνος οὖσα οὔτε ὄξος, εἴτε κατὰ μῖξίν ἐστιν ἡ κρᾶσις εἴτε κατὰ παράθεσιν; Πρὸς 〈δ’〉 οἷς ἔφην ἀτόποις οὐδ’ ἑνουμένην ἔτι χρὴ λέγειν ὑπάρχειν τὴν οὐσίαν, ἐκ πολλῶν δὲ καὶ ποικίλων καὶ διαφόρων καὶ ἐναντίων καὶ ἀπείρων ἢ μόνον οὐκ ἀπείρων κατ’ ἀριθμὸν συγκρίσεων συνεστηκυῖαν καὶ εἰς ἀπείρους πάλιν συγκρίσεις τεμνομένην τὴν μίαν τήνδε τινὰ τὴν ὁρωμένην φέρε τοῦ μήλου φύσιν.

19 476 ἥν τε λέγουσιν οἱ Στωϊκοὶ πρώτην ὕλην καὶ πρώτην οὐσίαν, ἐξ ἧς φασι τόν τε κόσμον καὶ τῶν ἐν αὐτῷ πραγμάτων ἕκαστον πεποιηκέναι τὸν Δία, εἰ καθάπερ αἱ ποιότητες σῶμα ἦν, πῶς οὐκ ἦν καὶ αὐτὴ ποιότης ἢ εἶχέ γε ποιότητα; εἴ τε τὰς ἄλλας ποιότητας οὐκ εἶχε, δηλαδὴ πάντως ὑπῆρχε βάρος 〈καὶ πέρας〉, ἅπερ φασὶν εἶναι σώματα· πῶς 〈δ’〉 ἁπλῆν ἔτι φασὶ τὴν πρώτην οὐσίαν, ἀλλ’ οὐχὶ σύγκριμα; εἰ δὲ πεπερασμένην εἶναί φασι καὶ πέρασι κεχρημένην, καὶ σχῆμα δῆλον ὡς ἐκέκτητο· ἄτοπον γάρ ἐστιν ἰδίοις περικλειόμενον σῶμα πέρασι μὴ μετὰ σχήματος πάντως ὑπάρχειν, εἰ καὶ μὴ συννοοῖτο τοῦτ’ αὐτῷ καθ’ ὑπόθεσιν.

19 477 ὥστε εἴπερ εἶχε ταῦθ’ ἅπερ ἔφην πάντα, ταῦτα δ’ ἐστί, καθάπερ αὐτοί φασι, σώματα, οὔτε ἄποιος ἦν δηλαδὴ οὔθ’ ἁπλῆ, πολλῶν δὲ καὶ διαφόρων σύνοδος ἦν σωμάτων καὶ σύγκριμα· ταύτῃ δὲ οὐδὲν ἀμιγὲς ἦν κατ’ αὐτούς. εἰ δὲ μηδὲν εἶχε τούτων, πρῶτον μὲν ἀδιανόητον καὶ πλὴν ὀνόματος οὐδέν. οὔτε γὰρ μὴ [δεῖ] ποιὸν εἶναι ὁτιοῦν ἔνεστιν, οὔτε ποιόν, οὐχὶ δὲ καὶ τὰς τρεῖς διαστάσεις ἔχον καὶ σχῆμά τι πάντως αὐτῷ συμβεβηκὸς ἴδιον. ἀδιανόητόν τε καὶ τὸ μήτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρὺ τοῦθ’ ὑπάρχειν μήτε κοῦφον, οὐχ ἧττον 〈δ’〉 ἄτοπον, εἰ λέγοι τις ἅμα τοῦτ’ ἔχειν ἀμφότερα καὶ κατὰ τὰ αὐτὰ καὶ μὴ πρὸς ἄλλο καὶ ἄλλο κρινόμενον, τό τε μηδ’ ἐκείνης ἐχούσης οὐσίαν 〈ποιὰν〉 τῶν ἐξ αὐτῆς ὥς φασι γεγονότων πρῶτον τεττάρων ἕκαστον ἔχειν ποιότητα. εὐλογώτερον γάρ ἐστιν, εἴπερ ἦν ἄποιος, καὶ τὰ δι’ αὐτῆς εἶναι γιγνόμενα καὶ πλαττόμενα. Εἰ δὲ μηδ’ αὐτὸ εἶχε τούτων μηδὲ ἓν καθ’ ὑπόθεσιν τὸ αἰθέριον δὴ ἐκεῖνο πῦρ, ὑφ’ οὗ φασι τά τε στοιχεῖα καὶ τὸν κόσμον γεγονέναι, πῶς ταῦτ’ ἔχει τὰ γεννήματα καὶ ποιήματα καὶ πλάσματα; οὐ μᾶλλον 〈ἢ〉 χρυσοῦ περιθήσει ποθ’ ὁ κεραμεὺς ποιότητα τοῖς ἐκ πηλοῦ πλαττομένοις ὑπ’ αὐτοῦ.

19 478 ὁ μὲν οὖν ἰατρὸς συντιθεὶς ἐκ πολλῶν φαρμάκων ἕτερον φάρμακον ἰδίαν ποιότητα πάντων ἐχόντων ποιὸν ἕτερον ἐκ τῆς μίξεως ποιεῖ· τὸν Δία δ’ οὔ φασι μῖξαι τῇ πρώτῃ οὐσίᾳ καὶ σχηματότητα οὐδὲ μηκότητα οὐδὲ τῶν ἄλλων τι συμβεβηκότων. εἰ δὲ μίγνυσιν ὄντα καὶ αὐτά, δῆλον ὡς ἀΐδια ταῦτ’ ἐστίν, 〈καὶ〉 πῶς ἔτι μόνην λέγουσι τὴν πρώτην ὕλην ἀΐδιον τὴν ἄποιον, οὐχὶ δὲ καὶ τὰς ἄλλας ποιότητας καὶ πάντα τὰ συμβαίνοντα; οὐδὲ γὰρ ποιητὴν εἶναί φασι καθάπερ τινὰ χειροτέχνην τὸν Δία, ἀλλ’ ὅλον δι’ ὅλης τῆς ὕλης διεληλυθότα πάντων δημιουργὸν γεγονέναι. τήν τε πηλικότητα τοῦ θείου πυρὸς καὶ τὰ ἐπὶ μέρους τῇ πηλικότητι συμβεβηκότα, τό τε μῆκος καὶ πλάτος καὶ βάθος, καὶ πρὸς τούτοις τὸ λογικὸν αὐτοῦ καὶ τὴν μακαριό τητα, εἰ μὲν οὐσίας εἶναι φήσουσι καὶ σωματικὰς αὐτὰς ἐροῦσιν, ἐκ σωμάτων δῆλον ὡς ἦν ὁ Ζεὺς συνεστηκὼς καὶ οὐχ ἁπλοῦν ἦν, ἀλλὰ καὶ σύγκριμα· εἰ δὲ ἀνουσίους ταύτας τὰς τῶν συμβεβηκότων φύσεις ἐροῦσι, τὸ λεγόμενον ὑφ’ ἡμῶν κρατύνεται, τὸ μὴ σωματικὴν ἔχειν φύσιν τὰ συμβεβηκότα μηδὲ τὰς ποιότητας.

19 479 εἰ δὲ μεταποιήσας αὐτὸν ὁ Ζεὺς ἰσαρίθμως οἷς ἔφην συμβεβηκόσι τροπὰς ἴσχει ποιοτήτων μυρίας, χείρων ἐστὶ τοῦ μυθολογουμένου Πρωτέως· ὁ μὲν γὰρ εἰς ὀλίγας φύσεις ἑαυτὸν μετεποίει καὶ μετεμόρφου καὶ ταύτας οὐκ ἀπρεπεῖς· ἤτοι μὲν πρώτιστα λέων γένετ’ ἠϋγένειος, αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς· γίγνετο δ’ ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον· ὁ δὲ οὐκ ἔστιν ὅ,τι μὴ καὶ τῶν αἰσχίστων γίγνεται· διὰ μὲν ἀνδρὸς ἄφρονος ἄφρων ἐστὶ δηλαδή, διὰ δὲ αἰσχροῦ γνώμης αἰσχροποιός, διὰ δὲ ζῴων ἀλόγων ἀποθηριούμενος, διὰ δὲ λίθων καὶ ξύλων ἄψυχος γενόμενος, διὰ δὲ κο πρίου βδελυρὰ φύσις, ἔτι δ’ ἀχρεῖον.

19 480 εἰ δ’ αὐτὸν μὲν οὐ μεταποιῶν τὴν ὕλην μεταπλάττει καὶ σχηματίζει καὶ ποιοῖ, ζητῶ, πῶς ἐστιν οἷός τε ταῦτα ποιεῖν· οὐ μᾶλλον ἢ πλάστης ποτ’ ἀνδριάντα ποιήσειε χρυσοῦν ἐκ μολύβδου. Κἀκεῖνα εἰπεῖν τοῖς φιλονείκοις ἀνδράσιν οὐκ ἄτοπον· καὶ γάρ τοι κίνησις εἰ προσγίγνεται τοῖς σώμασι καὶ πάλιν ἀπογίγνεται, σῶμα δ’ εἶναί φασιν αὐτήν, ὥρα λέγειν προσιόντων τινῶν ἡμῖν σωμάτων κινεῖσθαι καὶ πάλιν ἀπιόντων ἠρεμεῖν. εἴ 〈τε καὶ〉 τὰ πάθη προσγίγνεται καὶ πάλιν ἀπογίγνεται καί φασι καὶ ταῦθ’ ὑπάρχειν σώματα, πῶς οὐ γελοῖον καὶ τὸ κνῆσμα λέγειν σῶμα καὶ μὴ μόνον τὸ κνῆσαν ἀλλὰ καὶ τὸ κνησόμενον; ἀλλ’ ἐπεὶ δίχα σώματος τοῦ τε δρῶντος καὶ τοῦ πάσχοντος οὐδὲν πάθος γίγνεται, τοῦτ’ αὐτοὺς ἠπάτησε πρὸς τὸ καὶ τὰ πάθη καλεῖν σώματα. ἀλλ’ εἰ μὲν τῷ κατὰ ἀναφορὰν τρόπῳ τῆς κλήσεως οὕτως ἐκάλουν, οὐδ’ ἂν αὐτὸς ἐχαλέπαινον αὐτοῖς· οἶδα γὰρ οὕτω καὶ ἄμπελον λεγομένην λευκὴν κατὰ τὴν ἐπὶ τοὺς γιγνομένους ἀπ’ αὐτῆς λευκοὺς βότρυας ἀναφοράν, καὶ χρόνον κακὸν διὰ τὰς ἐν αὐτῷ γενομένας συμφοράς, καὶ νύκτα ἀβοήθητον, ἐν ᾗ τις ἐπικουρίας οὐκ ἔτυχεν· εἰ δὲ πρώτως καὶ κυρίως, ἁμαρτάνουσιν.

19 481 ἐσχηματισμένον γοῦν σῶμα λέγομεν καὶ πεπονθὸς καὶ κινούμενον, οὐ τὸ σχῆμα σῶμα καὶ τὸ πάθος καὶ τὴν κίνησιν, οὐδὲ τὴν πυγμὴν σῶμα, ἀλλὰ χεῖρά πως ἐσχηματισμένην. Τί δὲ ποιήσουσι πρὸς τοὺς οὐδὲ ποιεῖν φάσκοντας τὰ σώματα, μόνα δὲ τὰ ἀσώματα; τί δὲ πρὸς Ἀριστοτέλην, ὃς καὶ αὐτὸς γενικὴν τῶν ὄντων διαίρεσιν ποιούμενος τὰ μὲν εἶναί φησιν οὐσίας, τὰ δὲ συμβεβηκότα; τί δὲ καὶ αὐτοὶ βουλόμενοι λέγουσιν οὐσίας τε καὶ συμβεβηκότα, εἰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτά φασι σώματα, καὶ ταῦτα μήθ’ ὡς τὰ μέρη τοῦ σώματος ὀνομάζοντες σώματα, καθάπερ χεῖρα καὶ δάκτυλον, μήθ’ ὡς ἡ μνᾶ ἐν τῷ ταλάντῳ; εἴ τε τὸ σχῆμα τοῦ ἀνθρώπου σῶμά φασιν, ὥρα καὶ τὴν ζῳότητα σῶμα λέγειν καὶ τὸ γενητὸν εἶναι καὶ φθαρτὸν καὶ τὴν λογικότητα καὶ φρονιμότητα καὶ τὴν Ἀθηναιότητα καὶ τὸ φιλοσοφεῖν καὶ Σωφρονίσκου παῖδα εἶναι καὶ τὸ σι μὸν καὶ τὸ φαλακρὸν καὶ προγάστορα καὶ τοῖς ἄλλοις συμβεβηκόσιν ἰσαρίθμους λέγειν σωματότητας 〈καὶ〉 ὑπὲρ τὸν Βριάρεώ τε καὶ Τύφωνα λέγειν αὐτὸν πολυπλοκώτερον καὶ πολυσωματώτερον εἶναι ζῷον.

19 482 ἥ τε ζῳότης εἰ σῶμά ἐστι, πῶς πᾶσι τοῖς ζῴοις συμβέβηκεν; πῶς δὲ τὸ εἶναι; πῶς δὲ τὸ ἐν τόπῳ εἶναι; καὶ εἰ καθάπερ ἴδιον ἐπέχει τόπον πᾶν ὀφθαλμοφανὲς σῶμα, οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον, ἄτοπον. οὔτε γὰρ ἔσται τούτων ἐπιμιξία οὔτε μία τις 〈ἐξ〉 αὐτῶν ἀποτελεσθήσεται φύσις. ἄπορον δὲ, καθάπερ ἔφην, καὶ τὸ ἕνα τόπον ἐπέχειν ἅπαντα φάναι· συγχυθέντα γὰρ εἰς μισγάγκειαν τὴν ἑτερότητα οὐ φυλάξει οὐδὲ τὴν ἑαυτοῦ φύσιν ἕκαστον, καθάπερ ἐπὶ τῶν μεμιγμένων φαρμάκων ἔφην γίγνεσθαι. πότερόν 〈τε〉 ὅλον, φημί, τὸ σῶμα τῆς ζῳότητος ἑκάστῳ τῶν τοσούτων συμβεβηκότων συμβέβηκεν ἢ καταδιαιρούμενον ἰσαρίθμως; ἑκάτερον γὰρ ἄτοπον, ὡς ὁ προηνυσμένος λόγος ἔδειξε. τί δὲ δεῖται, φημί, σωματότητος ἕκαστον αὐτῶν, εἰ φθάνει καὶ αὐτὸ σῶμα ὄν; || ὅτι δὲ οὐκ ἔστι τῶν συμβεβηκότων ἕκαστον σῶμα, κἀκ τούτου τις ἂν μάθοι· μύοντες γὰρ σῶμα μὲν τῇ θίξει χρόνῳ καταλαμβάνομεν, χρόαν δὲ ἢ χυμὸν οὐ συγκαταλαμβάνομεν οὐδὲ σχῆμα κατὰ τὴν θῖξιν τοῦ σώματος· ἐχρῆν δὲ καὶ τούτων ἕκαστον ὑπὸ τῆς ὑλικῆς καὶ μὴ κατὰ περίληψιν θίξεως καταλαμβάνεσθαι.

19 483 οὐδὲ γάρ ἐστι λόγῳ θεωρητὴ φέρε ἡ τοῦ μήλου στρογγυλότης. ὁ δ’ ὅμοιος περὶ τοῦ χυμοῦ λόγος. εἴ τε καὶ τῶν συμβεβηκότων ἕκαστον σῶμά ἐστι, τί βουλόμενοι τὸ σῶμα μόνον φασὶν ἐπ’ ἄπειρον τέμνεσθαι, οὐχὶ δὲ καὶ τὸ σχῆμα, φέρε δὲ καὶ τὴν γλυκύτητα καὶ τῶν ἄλλων ἕκαστον, οὐ τῷ κατὰ συμπλοκὴν τρόπῳ φημί, οὐδὲ κατὰ ἀναφορὰν ἐπὶ τὸ συνήθως καλούμενον σῶμα, ἀλλ’ ἀπ’ εὐθείας; διὰ τί δὲ μόνου, καθάπερ ἔφην, τοῦ σώματος τοῦτον ὅρον εἶναί φασι, τὸ τριχῇ διαστατὸν μετ’ ἀντιτυπίας, οὐχὶ δὲ καὶ χρόαν καὶ χυλὸν καὶ χυμὸν καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον οὕτως ὁρίζονται; εἰ δὲ σώμα〈τα〉 πάντα ταῦτ’ εἶναί φασι (κἂν γὰρ ἐπ’ εἴδους διαφέρῃ, κοινῶς γε πάντα σώματα εἶναί φασιν), ὥσπερ οὖν κἂν ἄνθρωπον ὁρίζωμαι κἂν ἵππον κἂν βοῦν, ζῷον γενητὸν καὶ θνητὸν ἐρῶ, ἅπερ ἐστὶ κοινά, προσαποδώσω δὲ τὴν ἑκάστου ἰδιότητα, οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον ὁριζόμενοι λεγέτωσαν οὐσίαν σωματικὴν τριχῇ διαστατὴν μετὰ ἀντιτυπίας.

19 484 Ταῦτα τοὺς Στωϊκούς, φίλε Πίνδαρε, λύειν ἀξίου μὴ συγκατασπῶντας ἑαυτοῖς ἄλλους ὡς τοῖς αὐτοῖς ἐνεχομένους πταίσμασιν, ἀλλ’ ἀποσκευαζομένους τὰ ἐγκλήματα. οὐ γάρ ἐστιν [ἡ] ἀντιλογία τῶν ψευδοδοξιῶν ἡ κοινωνία πρὸς ἑτέρους, ἀλλ’ ἡ λύσις.